Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 157



λιν παρουσία θανάτου ἁμαρτωλοῖς, καὶ χαύνοις, καὶ τοῖς μὴ σπουδάζουσι πολιτεύεσθαι ἁγνῶς ἐν βίῳ τῷ ματαίῳ. Καὶ λύπη σφοδροτάτη ἡ ὥρα τοῦ χωρισμοῦ ἀνθρώπῳ ἁμαρτωλῷ· οὐδὲ γὰρ συγχωρεῖται παντελῶς φθέγξασθαί τι, καὶ γὰρ ἀποτομίᾳ κέχρηται τὸ πρόσταγμα ἐν τῇ ὥρᾳ ἐκείνῃ. Οἴμοι, οἴμοι, ὦ ψυχὴ, ἕνεκεν τίνος ἄρα ἀμελεῖς σου τῆς ζωῆς; διατί μετεώρως διάγεις τὰς ἡμέρας τοῦ ὅλου σου χρόνου; οὐκ οἶδας ὅτι ἄφνω γίνεται ἡ κλῆσίς σου; καὶ τί ποιήσεις ἐκεῖ, ἐνταῦθα ἀμελοῦσα; ἔμπροσθεν τοῦ βήματος τοῦ φοβεροῦ Δικαστοῦ, ποίαν ἀπολογίαν ἔχεις ἀποκριθῆναι; πῶς κλέπτει σε ὁ Ἐχθρὸς οὐ συνιεῖς ἄθλιε; καὶ πῶς πάλιν συλᾶται τὸν οὐράνιον πλοῦτον ἡμέραν καθ' ἡμέραν ἀγνοεῖς μετέωρε; Νῆψον, νῆψον, ὦ ψυχὴ, ἐν ὥρᾳ τοῦ πολέμου. Δεήθητι τοῦ Θεοῦ δάκρυσιν εὐχομένη. Βόησον πρὸς τὸν Θεὸν μετὰ πόνου καρδίας, καὶ εὐθὺς καταπέμπει εἰς τὴν σὴν βοήθειαν, ἄγγελον οἰκτίρμονα, καὶ ἐλευθερώσει σε ἐκ τοῦ αὐτοῦ πολέμου καὶ συγχύσεως τοῦ Ἐχθροῦ. Σπούδασον μὴ ἐμπεσεῖν εἰς ὥραν τοῦ χωρισμοῦ ἐν λύπῃ καὶ στεναγμοῖς, καὶ κλαύσεις ἀνωφελῶς εἰς αἰῶνα αἰῶνος. καὶ ἥξουσιν ἅπαντα εἰς τὴν σὴν διάνοιαν ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ εἴπῃς ἐν ἑαυτῇ ὀδυρομένη δεινῶς, Ἐγὼ ταῦτα καθ' ὥραν ἅπαντα ἐμιμνησκόμην· καὶ προμαρτυρούμενος ἐμαυτῷ ἔλεγον, παρέλθω τὰς ἡμέρας ἃς εἰμι ἐπὶ τῆς γῆς, ἵνα μὴ ἁμαρτήσω; μηδὲ πάλιν ἐκπέσω τῶν ἐντολῶν τοῦ Θεοῦ, ἀλλὰ πράξω πάντοτε τὰ αὐτῷ εὐάρεστα ἐν πολλῇ προθυμίᾳ. νῦν δὲ εὑρέθην κενὸς, καὶ μὴ ἔχων παντελῶς ἓν κατόρθωμα καλόν. Ἐλθὲ εἰς ἑαυτὴν ψυχὴ, ἀγωνίσασα συνεχῶς, φοβήθητι πάντοτε, πόθησόν σου τὸν Θεὸν, καὶ θεράπευσον αὐτὸν ἐν πράξεσιν ἀγαθαῖς, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα τοῦ θανάτου καὶ χωρισμοῦ, εὕρῃ σε εὐπρόθυμον, μετὰ μεγάλης χαρᾶς προσδεχομένην αὐτόν. Ἐννόησον, ὦ ψυχὴ, εἰς τὸ σὸν πολίτευμα καὶ τὴν κλῆσιν τοῦ Θεοῦ. ὥρα γὰρ τοῦ χωρισμοῦ οὐ λυπεῖ ἐλευθερωθέντα ἐκ πάντων τῶν γηΐνων, ἀλλὰ λυπεῖ θάνατος τὸν μετέωρον ἄνδρα, λυπεῖ καὶ ἁμαρτωλὸν, λυπεῖ ἀδιάφορον, λυπεῖ καὶ τὸν ὀκνηρὸν, ὀκνήσαντα ποιῆσαι τὰ ἀρεστὰ τῷ Θεῷ, λυπεῖ πολυκτήμονα, δήσαντα ψυχὴν αὐτοῦ ἐν πράγμασι κοσμικοῖς, λυπεῖ καὶ τὸν πλούσιον, ὅτι χωρίζει αὐτὸν τοῦ βίου ἀκουσίως, λυπεῖ καὶ τοὺς πατέρας, ὅτι χωρίζει αὐτοὺς τῶν τέκνων ποθεινῶν, λυπεῖ τὸν βιωτικὸν, ὅτι χωρίζει αὐτὸν ἐκ τοῦ πλούτου αὐτοῦ, λυπεῖ καὶ τοὺς ἀδελφοὺς, ὅτι χωρίζει αὐτοὺς

A ſentia peccatoribus, laxeque ac molliter viventibus, & quibus in hac vita vaniſſima ſe puros ſervandi non fuit cura: dolorque vehementiſſimus, ſeparationis tempore, peccatorem occupabit, quando neque omnino quid loqui licebit, & ſeveriſſimum præceptum egredi hora illa urgebit. Heu heu, o anima, quamobrem nunc vitam tuam negligis? cur aliis diſtracta, ita otioſe dies univerſi tempo-
B ris tui tranſigis? Ignoras repentinam ac ſubitaneam fore vocationem tuam? Quid, obſecro, illic tunc actura es, ſi hic ita jam fueris negligens? Ante tribunal tremendi judicis quid pro excuſatione tua habebis quod reſpondeas? Quomodo ſubrepat tibi inimicus tuus, non intelligis miſera? & quomodo tibi divitias cœleſtes in dies furetur, neſcis o diſtracta & negligens? Vigila, vigila belli tem-
C pore, o anima. Precibus intenta eſto, cum lacrymis ora Deum, & cum dolore cordis ad eum clama, & ſtatim tibi auxilium mittet, angelum miſericordem, qui te ex ipſo belli periculo liberet, & a confuſione inimici. Diligenter cura, ne ſeparationis hora in triſtitiam incidas ac gemitum, inutiliterque plores in ſæculum ſæculi. Et venient cuncta in mentem tibi hora illa, diceſque intra te
D ipſam, acri dolore concitata: Omnia iſta ego quotidie mente revolvebam, mihique ipſe ante denuncians dicebam: Percurram dies meos, quibus in terra ſum, ut ultra non peccem, neque iterum a divinis mandatis excidam; ſed cum alacritate magna, quæ ipſi placent peragam ſemper. At nunc inanis abſque ullo penitus bono opere reperior. Ad te ipſam, o anima, revertere, aſſidue decerta, ſemperque time.
E Deum tuum concupiſce, illique per bona opera obſequere, ut cum mortis hora ſeparationiſque tempus advenerit, te paratam, & magno cum gaudio exſpectantem ipſum inveniat. Intellige, o anima, inſtitutum tuum, Deique vocationem. Non enim liberum animum, cunctiſque rebus terrenis liberatum contriſtat angitque migrationis hora. Sed mors hominem diſtractum & peccatorem contriſtat. Contriſtat remiſſum ac
F negligentem, & quæ Deo placent omittentem. Contriſtat multa poſſidentem, qui curis & negotiis ſecularibus ſuam devinxit animam. Contriſtat opulentum, quod eum, licet invitum, ab hac vita ſeparet. Contriſtat patres, quod a cariſſimis eos liberis ſegreget. Contriſtat mundanum, quoniam divitias ſuas deſerit. Contriſtat fratres, quoniam cum luctu eos ab



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0405
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg